Οὐδὲν βλέπουσιν ἄλλο, πλὴν ψήφῳ δακεῖν,
Αὐτός τ' ἐμαυτὸν ὑπὸ Κλέωνος ἅπαθον,
Ἐπίσταμαι, διὰ τὴν πέρυσι κωμῳδίαν.
Εἰσελκύσας γάρ μ' εἰς τὸ βουλευτήριον
Διέβαλλε, καὶ ψευδῆ κατεγλώττιζέ μου,
Κἀκυκλοβόρει, κἄπλυνεν, ὥστ' ὀλίγου πάνυ
Ἀπωλόμην, μολυνοπραγμονούμενος.
B Νῦν οὖν με πρῶτον πρὶν λέγειν ἐάσατε,
Ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον.

A *Aliud vident, quàm vt mordeant suffragio.*
*Ego item noui ipsemet, quid passus sim mali*
*Ob exhibitam præterito anno Comœdiam.*
*Nam in me, pertractum ad hoc senaculum, Cleo*
*Calumnijs multis, multis mendacijs*
*Deblaterauit, & magno strepitu obtudit,*
*Meq́ maledictis proscidit: parum abfuit*
*Vt non perierim, hoc pollutus negocio.*
B *Nunc priusquam faciam orationis initium*
*Sinite me amiciri in modum hominis egentissimi.*

Σχόλια. Ψήφῳ δακεῖν.] ἀντὶ τοῦ καταδικάζειν. πανταχοῦ ὡς φιλοδίκους καὶ πρὸς τὸ καταδικάζειν ἑτοίμους, τοὺς Ἀθηναίους κωμῳδεῖ. Αὐτός τ' ἐμαυτόν.] ὡς ἀπὸ τοῦ προσώπου τοῦ ποιητοῦ ὁ λόγος ἐστί. Διὰ τὴν πέρυσι κωμῳδίαν.] τοὺς Βαβυλωνίους. τούτους γὰρ πρὸ τῶν Ἀχαρνέων Ἀριστοφάνης ἐδίδαξεν, οἷς πολλοὺς κακῶς εἶπεν. ἐκωμῴδησε γὰρ, τάς τε κληρωτὰς καὶ χειροτονητὰς C ἀρχὰς, καὶ Κλέωνα παρόντων τῶν ξένων. εἶπε γὰρ δρᾶμα τοὺς Βαβυλωνίους τῇ τῶν Διονυσίων ἑορτῇ, ἥ τις ἐν τῷ ἔαρι ἐπιτελεῖται, ἐν ᾧ ἔφερον τοὺς φόρους οἱ σύμμαχοι. καὶ διὰ τοῦτο ὀργισθεὶς ὁ Κλέων, ἐγράψατο αὐτὸν ἀδικίας εἰς τοὺς πολίτας, ὡς εἰς ὕβριν τοῦ δήμου ταῦτα πεποιηκότα. καὶ ξενίας δὲ αὐτὸν ἐγράψατο καὶ εἰς ἀγῶνα ἐνέβαλεν. τὰ δὲ Λήναια ἐν τῷ μετοπώρῳ ἤγετο. ἐν οἷς οὐ παρῆσαν οἱ ξένοι. ὅτε τὸ δρᾶμα τοῦτο οἱ Ἀχαρνεῖς ἐδιδάσκετο.

D Bisetvs. Κατεγλώττιζέ μου] καταγλωττίζειν τὸ βλασφημεῖν. Σ.

Σχόλια. Κἀκυκλοβόρει.] ἐνταῦθα κατέμιξε τὴν κωμῳδικὴν χάριν καὶ τὰ δικαστικὰ ῥήματα. τὸ μὲν γὰρ διαβάλλειν καὶ λέγειν ψευδῆ καὶ πλύνειν, εἴποι τὶς ἂν περὶ τὰ δικαστήρια ταῦτα λέγειν δεῖν. τὸ δὲ κυκλοβορεῖν καὶ καταγλωττίζειν, χαριεντίσματά ἐστι κωμῳδίας. κυκλόβορος δὲ ποταμὸς ἐν Ἀθήναις χείμαρρος ἄ- C γαν ἠχῶν, ὡς ἐν τοῖς εἰς τοὺς Ἱππεῖς εἴρηται.

Bisetvs. Μολυνοπραγμονούμενος.] αὕτη ἡ μετοχὴ διπλῆν ἔχει ἐξήγησιν. εἰ γὰρ παθητικῶς λαμβάνοιτο, δηλώσει τὸ αἰσχρῶς, καὶ ὑβριστικῶς μεταχειρισθείς. εἰ δὲ ἐνεργητικῶς, οὕτω νοηθήσεται ὁ τοὺς ἄλλους πολυπραγμόνως, καὶ περιέργως μετὰ παρρησίας σκώπτων, καὶ διαβάλλων. ἅπερ Ἀριστοφάνης ἐποίησεν ἐν τοῖς Βαβυλωνίοις, ὡς καὶ αὐτὰ τὰ παλαιὰ σχόλια εἰς τοῦτο λέγει.

Σχόλια. Ἐνσκευάσασθαί με.] ἀντὶ τοῦ πτωχικὴν ἀ- D ναλαβεῖν ἐσθῆτα, ὡς ἀπὸ τοῦ σχήματος ἐλεεινότατον καὶ ἀθλιώτατον εἶναί με δοκεῖν. τὰ γὰρ σεμνὰ τῶν σχημάτων, καὶ φθόνον ἐπάγει.

## ΑΝΤΙΣΤΡΟΦΗ κώλων ιά.

Χο. Τί ταῦτα στρέφει, τεχνάζεις τε,
Κἀμποιεῖς τριβάς;
Λαβὲ δ' ἐμοῦ γ' ἕνεκα
Παρ' Ἱερωνύμου,
Σκοτοδασυπυκνότριχα
Τὴν Ἄϊδος κυνῆν.
Εἶτ' ἐξάνοιγε μηχανὰς τὰς Σισύφου,
Ὡς σκῆψιν αὖ, ἀγὼν οὗτος οὐκ ἐσδέξεται.

## Antistrophe.

CH. *Qvid hic tergiuersando nectis*
*Tam diu istas moras?*
E *Cape meo nomine*
*Ab Hieronymo,*
*Nigrorigidhirticomam*
*Galeam Auernicam:*
*Dein callidos deprome Sisiphi dolos:*
*Nã hoc certamen nullum præceptum admiserit.*

Σχόλια. Τί ταῦτα στρέφει] ἀντὶ τοῦ τεχνάζῃ. μεταβάλλῃ. καὶ μετὰ τέχνης καὶ ποικιλίας προσέρχῃ. Παρ' Ἱερωνύμου.] οὗτος ὁ Ἱερώνυμος, μελῶν ἐστι ποιητής. καὶ τραγῳδοποιὸς ἀνώμαλος καὶ ἀνοικονόμητος, διὰ τὸ ἄγαν ἐμπαθεῖς γράφειν ὑποθέσεις, καὶ φοβεροῖς προσωπείοις χρῆσθαι. F ἐδόκει δὲ κροτεῖσθαι. ἐκωμῳδεῖτο δὲ ὡς πάνυ κομῶν. διόπερ Ἄϊδος κυνῆν ἔφη αὐτοῦ, παίξας κωμικῶς τοῦ κουρίαντα. Τὰς Σισύφου.] δεινόν τινα καὶ πανοῦργον παραδεδώκασιν οἱ ποιηταὶ τὸν Σίσυφον, διὰ μιᾶς λέξεως παρ' Ὁμήρου δεδιδαγμένοι. Σίσυφος ὃς κέρδιστος ἐπιχθονίων γένετ' ἀνδρῶν.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ Σκηνὴ τρίτη.

### ΔΙΚΑΙΟΠΟΛΙΣ, ΚΗΦΙΣΟΦΩΝ.

Τρίμετροι.

## Actvs II. Scena tertia.

### G Dicaeopolis, Cephisopho.

*Senarij.*

Bisetvs. Δικαιόπολις ὑπὸ χοροῦ λέγειν περὶ τῶν τοῦ πόλεως πραγμάτων ἐπιταχθεὶς, ὡς Εὐριπίδην βαδίζει, καὶ τὰ παλαιὰ Τηλέφου ῥακώματα, καὶ πᾶσαν αὐτοῦ σκευὴν αἰτεῖ, ὅπως τὸ σχῆμα πτωχὸς εἶναι δόξῃ. ἀστείως δὲ τὸν Εὐριπίδην οὕτω σκώπτει, ὅτι τοὺς ἥρωας, καὶ βασιλεῖς ἐν τοῖς ἑαυτοῦ δράμασιν ὡς πτωχοὺς εἰσάγει. Δικαιόπολις δὲ οὐ μόνον τὴν ἐσθῆτα, καὶ πᾶν πτωχοῦ σχῆμα, ἀλλὰ καὶ τοὺς τρόπους, καὶ τὴν ἀναίδειαν ἐνεδύσατο, ὥστε ὑπὸ τοῦ Εὐριπίδου μόγις ἀπὸ τῆς οἰκίας ἀποστέλλεσθαι δυνηθῆναι.